# ΕΥΡΙΠΙΔΟΥ
# ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΑΥΛΙΔΙ.

ΑΓΑΜΕΜΝΩΝ.

Ὦ πρέσβυ, δόμων τῶνδε πάροιθεν
στεῖχε.

ΘΕΡΑΠΩΝ.

στείχω. τί δὲ καινουργεῖς,
Ἀγάμεμνον ἄναξ;

ΑΓΑ. πεύσει.

ΘΕ. σπεύδω.
μάλα τοι γῆρας τοὐμὸν ἄϋπνον
καὶ ἐπ' ὀφθαλμοῖς ὀξὺ πάρεστιν.

ΑΓΑ. τίς ποτ' ἄρ' ἀστὴρ ὅδε πορθμεύει;

ΘΕ. Σείριος, ἐγγὺς τῆς ἑπταπόρου
Πλειάδος ᾄσσων ἔτι μεσσήρης.

[ΑΓΑ.] οὔκουν φθόγγος γ' οὔτ' ὀρνίθων
οὔτε θαλάσσης· [σιγαὶ δ' ἀνέμων
τόνδε κατ' Εὔριπον ἔχουσιν.

[ΘΕ.] τί δὲ σὺ σκηνῆς ἐκτὸς ἀΐσσεις,
Ἀγάμεμνον ἄναξ;]
ἔτι δ' ἡσυχία τῇδε κατ' Αὖλιν
καὶ ἀκίνητοι φυλακαὶ τειχέων.
στείχωμεν ἔσω.

ΑΓΑ. ζηλῶ σέ, γέρον,
ζηλῶ δ' ἀνδρῶν ὃς ἀκίνδυνον
βίον ἐξεπέρασ' ἀγνὼς, ἀκλεής·
τοὺς δ' ἐν τιμαῖς ἧσσον ζηλῶ.

ΘΕ. καὶ μὴν τὸ καλόν γ' ἐνταῦθα βίου.

ΑΓΑ. τοῦτο δέ γ' ἐστὶν τὸ καλὸν σφαλερόν·